24-09-2022 ΕΣΠΕΡΑΣ

† Μνήμη τῆς Ἁγίας

Μεγαλομάρτυρος καὶ Ἰσαποστόλου Θέκλης.

ΙΕΡΕΥΣ: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ο ΠΡΟΕΣΤΩΣ ἢ Ο ΑΝΑΓΝΩΣΤΗΣ: Ἀμήν.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

Ψαλμὸς ργ´ (103).

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερώων αὐτοῦ ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.

Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγῳοῖς.

Ἐποίησε σελήνην εἰς καιρούς ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔθου σκότος, καὶ ἐγένετο νύξ ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπᾶσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.

Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.

Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον δόντος σου αὐτοῖς συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.

Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Ἐξαποστελεῖς τὸ πνεῦμα σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.

ᾎσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς.

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν·

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ ἔθου σκότος, καὶ ἐγένετο νύξ.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα Πατρὶ... Καὶ νῦν...

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ΄).

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

Ἦχος πλ. α' Νη Ιε Ἀ νοι ξα αν το ο ος σου

την χει ει ει ει ει ρα τα συ υμ παν τα

πλη η σθη η η σο ο ο ον ται χρη η στο

ο ο τη η η η τος α πο στρε ε ε

ψαν τος δε σου το ο ο προ σω ω πο ον

τα ρα χθη η η σο ο ο ο ο ον ται δο

ξα α σοι οι ο Θε ο ο ος αλ λη λου ου ου

ου ου ι ι ι ι α

Ἀν τα νε λει εις το πνε ε ευ μα α

α α αυ τω ων και ε κλει ει ει ψου ου ου

ου σι και εις τον χου ου ουν α α αυ τω


ων ε πι στρε ε ε ψου ου ου ου σι δο
ξα α σοι οι ο Θε ο ο ος αλ λη λου ου ου
ου ου ι ι ι ι α
Ε ξα πο στε λεις το Πνε ε ευ μα
α α α σου και κτι ι σθη η σο ον ται αι
και α να και νι ι ι ει εις το προ
ο σω ω ω πον τη η ης γη ης δο ξα σοι Πα
α α τερ δο ο ξα α σοι οι Υι υι ε ε
ε ε ε δο ξα α σοι το Πνε ε ευ μα α
το ο ο Α α γι ι ι ον δο ο ξα α
σοι οι ο Θε ο ο ος α αλ λη λου ου ου


ι ι ι ι α
Η η τω η δο ξα α Κυ υ ρι ι ι
ου ου εις τους αι ω ω να α ας ευ φραν
θη η σε ται αι αι Κυ ρι ι ο ος ε πι τοις
ε ε ερ γοις α α αυ του δο ξα σοι οι
οι Α γι ι ε δο ο ξα α σοι οι Κυ υ
υ ρι ι ι ι ε δο ξα α σοι οι Βα σι
λευ ου ου ρα α α α νι ι ι ε ε ε
δο ξα α σοι οι ο Θε ο ο ος α
α αλ λη λου ου ου ι ι ι ι α
Ο ε πι βλε ε ε ε ε ε πων


ε ε πι ι ι τη η η ην γην και ποι
ω ω ων α αυ την τρε ε ε ε ε ε
μειν ο α πτο ο με ε νος των ο ρε
ε ων και κα πνι ι ι ι ι ζο και
κα πνι ι ζο ο ον ται δο ο ξα σοι οι οι
Α γι ι ι ε δο ο ξα α σοι οι Κυ υ
υ ρι ι ι ι ε δο ο ξα α α σοι
Βα σι λευ ου ρα α α α α α α α
νι ι ι ι ου ρα α νι ι ι ε δο ο
ξα α α σοι το Πνε ε ε ευ μα το Α α α
α α α α γι ι ι ι το Α α γι ι ο ον


δο ξα α σοι οι ο Θε ο ο ο ο ος
αλ λη λου ου ου ι ι ι ι α
Α σω τω Κυ ρι ι ι ω ω εν
τη ζω ω η η η μου ψα λω ω τω Θε ε ω
ω ω μου ε ως υ υ πα α αρ χω ω δο ξα α
σοι οι Τρι συ πο ο στα α τε Θε ε ο ο ο
τη ης Πα α α α α τερ Υι ε και αι
Πνε ε ευ μα α σε ε προ σκυ υ νου ου ου με
ε εν και δο ο ξα α α ζο ο ο ο μεν δο
ο ξα α σοι οι ο Θε ο ο ο ο ος
αλ λη λου ου ου ι ι ι ι α


Η δυν θει ει ει η αυ τω η δι
α λο ο γη η η μου ε γω ω δε ε ευ
φρα α αν θη η σο ο ο μαι ε πι τω
Κυ υ ρι ι ι ω ω δο ξα α σοι οι Πα α τε
ερ α α α να α α αρ χε δο ξα α σοι Υι
ε συ υ υ να να αρ χε δο ξα α σοι το Πνε
ε ευ μα α το ο ο Α α γι ι ι ον
το ο μο ο ου ου σι ι ι ον και ο μο
ο ο ο ο ο ο θρο ο ο και ο μο ο θροο
νο ον Τρι α ας Α γι ι ι α δο
ο ο ξα α α α σοι δο ο ξα α σοι οι


ο Θε ο ο ο ο ος αλ λη λου ου ου
ι ι ι ι α
Εκ λει ποι εν α μα αρ τω ω λοι
α πο ο ο ο τη η η η ης γη ης και α
α α α νο ο ο μοι οι οι ω στε ε μη υ υ
πα α αρ χειν α α αυ τους δο ξα σοι οι
οι Πα α α τερ δο ξα α σοι Υι υι ε ε ε ε
δο ο ξα α α σοι το Πνε ε ευ μα α α το
Α α α α α α α γι ι ι ι το Α
α γι ι ο ον Τρι α ας Α γι α δο ο ο
ξα α α α σοι δο ο ξα α σοι οι ο Θε


ο ο ο ο ος αλ λη λου ου ου ι
ι ι ι α
Ευ λο ο ο ο ο γει η ψυ χη η
η η μου το ον Κυ υ υ ρι ι ι ι ον
ο Η λι ο ος ε ε ε γνω τη ην δυ
υ υ σιν α α αυ του ε ε ε ε
ε ε ε θου σκο ο ο ο τος και ε γε ε
ε νε το ο ο νυξ δο ο ξα α σοι οι
Βα σι λε ε ε ευ ε που ου ρα α α
α α α α α α νι ι ε ε που ρα α
νι ι ι ε δο ο ξα α σοι Παν το κρα


α α το ο ο ορ συ υ υν Υι υι ω ω και
Πνευ μα α α τι δο ο ξα σοι οι ο Θε ε
ο ο ος α α αλ λη λου ου ου ι ι ι
ι α
Ως ε με γα λυ υ υν θη η η τα ε
ερ γα σου ου Κυ ρι ι ε πα α α α αν τα
εν σο φι ι ι α ε ποι οι οι η η η η σας
δο ξα α σοι Πα α τε ερ α α γε ε εν
νη η η η τε δο ξα α σοι οι Υι ε ε ε
ε ε γεν νη τε δο ο ξα α α α σοι το
Πνε ευ μα το ο ο Α γι ι ο ον το εκ


του Πα τρο ος ε εκ πο ρε ευ ο ο ο
με ε ε ε νον και εν Υι ω α να παυ ο
ο ο με ε ε ε νον Τρι α ας Α γι α δο
ο ο ξα α α α σοι δο ο ξα α σοι οι
ο Θε ο ο ο ο ος αλ λη λου ου ου
ι ι ι ι α
Δο ξα Πα τρι ι ι ι και Υι ω και
αι Α γι ω Πνε ε ευ μα α α α τι
Και νυ υ υ υν και α ει και εις τους
αι ω ω να α ας των αι ω ω ω
νων α α α μην


Αλ λη λου ου ι ι α αλ λη λου ου
ι ι ι α αλ λη λου ι ι α δο ξα α σοι
οι ο Θε ο ο ος αλ λη λου ου ου ι ι ι ι
α
Αλ λη λου ι ι α αλ λη λου ου
ι ι ι α αλ λη λου ι ι α δο ξα α σοι
οι ο Θε ο ο ος αλ λη λου ου ου ι ι ι ι
α
Αλ λη λου ου ου ι α αλ λη λου ου ι ι ι
α αλ λη λου ι ι α δο ξα α σοι ο Θε
ε ο ο ο ος η μων δο ο ξα α σοι οι οι οι οι

ΔΙΑΚΟΝΟΣ: Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον. [καὶ μετὰ ἀπὸ κάθε αἴτηση]

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν (……), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντός τοῦ Κλήρου καὶ τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς πόλεως (Μονῆς, Κώμης) ταύτης,

πάσης πόλεως καὶ χώρας καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΧΟΡΟΣ: Σοὶ, Κύριε.

ΙΕΡΕΥΣ: Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ΧΟΡΟΣ: Ἀμήν.

## ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ.

Ἦχος πλ. δ΄ Νη




## ΕΤΕΡΑ.




4. Κυ ρι ε ε ε λε η σο ο ον
5. Κυ ρι ε ε λε ε η σον
6. Κυ ρι ε ε λε ε ε η σον
7. Κυ ρι ε ε λε η σον
8. Κυ ρι ε ε λε η σον
9. Κυ ρι ε ε λε η σον
10. Κυ ρι ε ε λε ε η σον
11. Κυ ρι ε ε λε ε ε η σον
12. Σοι Κυ ρι ε

# ΕΣΠΕΡΙΝΟΣ ΗΧΟΣ ΤΕΤΑΡΤΟΣ.

Ἦχος Πα



ε νω πι ο ο ον σου ε πα αρ σι ι

ις τω ων χει ει ει ρω ω ω ων μου θυ

σι ι α ε ε ε σπε ρι ι ι νη η ει σα α

α α κου σο ον μου ου Κυ υ ρι ι ε ε

Ε αν α νο μι ας πα ρα τη ρη

σης Κυ ρι ε Κυ ρι ε τις υ πο στη σε

ται ο τι πα ρα σοι ο ι λα σμος ε

στιν

*Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσι.*

Ὡς τοῦ Παύλου ἀκούσασα, τῆς φωνῆς ἀνεπτέρωσαι, τοῦ Χριστοῦ τῷ ἔρωτι Θέκλα ἔνδοξε, καί τοῖς αὐτοῦ θείοις ἴχνεσι, θερμῶς ἠκολούθησας, ἀποστᾶσα τῶν φθαρτῶν, καί νυμφίον τόν πρόσκαιρον, καταλείψασα· διά τοῦτο νυμφῶνος ἀθανάτου, ἠξιώθης δυσωποῦσα, ὑπέρ ἡμῶν τόν Φιλάνθρωπον.

Τοῖς τοῦ Παύλου διδάγμασι, μυηθεῖσα τά κρείττονα, μαρτυρίου ἔλαμψας τοῖς παλαίσμασι, τήν γυναικείαν ἀσθένειαν, ψυχῆς ἀνδρειότητι, ἀπορρίψασα σεμνή, καί στερρῶς προσεχώρησας, πρός τά σκάμματα, δι᾽ ἀγάπην Χριστοῦ τοῦ σοῦ νυμφίου, ὅν ἀπαύστως ἐκδυπώσει, ὑπέρ ἡμῶν Θέκλα ἔνδοξε,




Καὶ πυρί ὁμιλήσασα, καί θηρίοις ἐκδίδοσαι, καί ἐν λίμνῃ ἔρριψαι καλλιπάρθενε, ἀλλά δυνάμει τῇ ἄνωθεν, ἐν πᾶσιν ἀλώβητος, ἀναδέδειξαι σεμνή, καί ἐπίνοιαν ἅπασαν, καταβέβληκας, τῶν τυράννων καί νίκης τούς στεφάνους, Μάρτυς Θέκλα ἐκομίσω, παρά Χριστοῦ τοῦ νυμφίου σου.

Α πο φυ λα κης πρω ι ας με χρι νυ κτος α πο φυ λα κης πρω ι ας ελ πι σα τω Ισ ρα ηλ ε πι τον Κυ ρι ον

Τόν νυμφίον τόν πρόσκαιρον, νουνεχῶς καταλέλοιπας, καί Χριστῷ νενύμφευσαι καλλιπάρθενε, καί ὥσπερ προῖκα πολύτιμον, αὐτῷ προσενήνοχας, τούς ἀγῶνάς σου σεμνή, καί τό κάλλος τό ἄμωμον, τῆς ἀγνείας σου· διά τοῦτο νυμφῶνος ἀθανάτου, ἠξιώθης Μάρτυς Θέκλα, αὐτοῦ δρῶσα τήν ἔλλαμψιν.

Ο τι πα ρα τω Κυ ρι ω το ε λε ος και πολ λη παρ αυ τω λυ υ τρω σις και αυ τος λυ τρω σε ται τον Ισ ρα ηλ εκ πα σων των α νο μι ων αυτου

Πρωτομάρτυς καί Πρώταθλος, ὡς παρθένος ἀμόλυντος, καί ἐν πόνοις λάμψασα τῆς

ἀθλήσεως, ἐν γυναιξίν ἐχρημάτισας, Θέκλα παναοίδιμε, παριδοῦσα τά φθαρτά, καί τήν φύσιν τοῦ θήλεος, ἐπιρρώσασα, τῇ ἀγάπῃ, Χριστοῦ τοῦ σοῦ νυμφίου· διά τοῦτο ἀθανάτων, γερῶν λαμπρῶς κατηξίωσαι.




Τοῦ Σωτῆρος τῷ νεύματι, ᾧ πιστῶς ἐνητένιζες, διανοίας ὄμμασι καλλιπάρθενε, διαρραγεῖσά σε δέδεκται, πέτρα ἥ ἀκρότομος, καί ἀνῆλθες ἐν χαρᾷ, τόν ἀγῶνα τελέσασα, πρός τήν ἄρρητον, καί ἀΐδιον δόξαν τοῦ Δεσπότου, δυσωποῦσα Μάρτυς Θέκλα, ὑπέρ ἡμῶν τόν νυμφίον σου.

## Δόξα... Ἦχος πλ. β'.

Νε ε Δο ο ο ξα Πα α τρι ι ι ι και αι

αι Υι ω και α γι ι ω Πνευ μα α α

τι

Α θλη τι κοι οις πα λαι αι σμα α σι τον

εχ θρον κα τε πα α τη η σας Θεκ λα πα αμ μα

κα α ρι ι ι ι στε και τας του ου του ου

μη η η χα α νας μαρ τυ ρι κως συ υν τρι

ψα α σα Θα μυ ριν ε ε φυ υ γες και Χρι

στω ω ω ε νυμ φε ευ θης τω α λη θη η

ε ρα στη του Παυ λου συ νο μι ι λε και


του Στε φα α νου συ υ να α α θλε παρ
ρη σι αν ε χου ου σα πρω το μαρ τυς Χρι στου
εν γυ υ υ ναι αι ξι των πι ι στως εκ τε
λου ου ου λου ου ου των την πα νε ο
ορ τον μνη η η μη η η ην σου εκ κιν δυ
υ υ νων λυ τρω ω σαι τα ας ψυ χα χα ας η η
η η μω ων


Και αι νυ υ υ υν και α α ει και εις τους
αι αι ω ω ω ω νας των αι αι ω ω νων
α α α μην
Τις μη μα κα ρι σει σε Πα να γι ι
α α α Πα α αρ θε ε ε ε νε τις μη α
νυ υ μνη σει ει ει σου τον α λο ο ο
ο χε ευ το ον το ο ο ο ο κον ο γαρ
α χρο νως εκ Πα τρος εκ λα αμ ψας Υι
ο ος μο ο νο ο ο γε νης ο αυ τος εκ
σου ου της α γνη η η ης προ ο ο η η
η ηλ θεν α αφρα α στως σαρ κω ω ω θεις


φυ υσει Θε ο ο ο ος υ πα α αρ χων
και φυ σει γε νο ο με ε ε ε νος α αν
θρω ω ω πος δι ι ι ι ι η η η η μας
ουκ εις δυ α α α δα προ ο σω ω ω πων
τε μνο ο ο ο ο με ε ε ε νος αλλ εν
δυ α α δι φυ υ υ σε ε ε ων α συγ χυ
τως γνω ω ω ρι ζο ο ο με ε ε ε νος
αυ τον ι ι κε ε τε τε ευ ε σε ε
μνη η η η παμ μα κα α α α α α ρι παμ
μα κα α ρι ι στε ε ε λε η θη η η η
η η η ναι τα ας ψυ χα α α ας η



η η η μω ω ω ω ων

Εἴσοδος, Φῶς ἱλαρόν.

Ἦχος Δι






## ΤΑ ΠΡΟΚΕΙΜΕΝΑ ΚΑΤΑ ΤΟΝ ΚΑΘΟΡΙΣΜΕΝΟΝ ΗΧΟΝ

## Προκείμενον.
## Τῇ Κυριακῇ ἑσπέρας.

### Ἦχος πλ. α΄ Νη




**Στίχ. Ο**ἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.

Τὸ τρίτον.



Προκείμενον.
Τῇ Δευτέρᾳ ἑσπέρας.
Ἦχος δ'.

Ἦχος Δι

Κυ υ ρι ος ει σα κου σε ται μου
εν τω κε κρα γε ε ναι με προς αυ το
ον (Δίς)

Στίχ. Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεός τῆς δικαιοσύνης μου, ἐν θλίψει ἐπλάτυνάς με.

Τὸ τρίτον. Κυ ρι ος ει σα κου σε ται αι μου
εν τω κε κρα γε ναι με προς αυ το ο
ον

# 24-09- ΕΣΠΕΡΙΝΟΣ ΑΓΙΑΣ καὶ ΙΣΑΠΟΣΤΟΛΟΥ ΘΕΚΛΗΣ.

Προκείμενον.

Τῇ Τρίτῃ ἑσπέρας.

Ἦχος πλ. α' Πα

Το ε λε ος σου Κυ ρι ε κα τα δι ω ξει με πα σας τας η με ρας της ζω ης μου (Δὶς)

Στίχ: **Κ**ύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.

Τὸ τρίτον: Το ε λε ος σου Κυ ρι ε κα τα δι ω ξει με πα σας τας η με ρας της ζω η ης μου ου ου

Προκείμενον.

Τῇ Τετάρτῃ ἑσπέρας.

Ἦχος πλ. δ'. Κε

Ο Θε ος εν τω ο νο μα τι σου σω σον με και εν τη δυ να μει σου κρι νει ει ει εις με (Δίς)

Στίχ. Ὁ Θεός εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.

Τὸ τρίτον. Ο Θε ος εν τω ο νο μα τι σου σω σον με και εν τη δυ να μει σου κρι νει ει εις με ε ε

## Προκείμενον.
## Τῇ Πέμπτῃ ἑσπέρας.

### Ἦχος λ' π Βου

Η βο η θει α α μου πα ρα Κυ ρι
ου του ποι η σαν τος τον ου ρα νο ον και
την γην (Δίς)

Στίχ. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Τὸ τρίτον. Η βο η θει α α μου πα ρα
Κυ ρι ου του ποι η σαν τος τον ου ρα
νο ον και την γη η ην

## Προκείμενον.
## Τῇ Παρασκευῇ ἑσπέρας.

### Ἦχος Βαρὺς

Ο Θε ος αν τι λη πτωρ μου ει το ε λε ο ος σου προ φθα α σει με (Δίς)

Στίχ. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ᾽ ἐμὲ λύτρωσαί με.

Τὸ τρίτον. Ο Θε ος αν τι λη η πτωρ μου ει ει το ε λε ο ος σου προ φθα α σει με ε ε

Εἶτα τὰ Ἀναγνώσματα.

## Παροιμιῶν τὸ Ἀνάγνωσμα.
(Κεφ. λα΄ 10 – 26)

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευόμενη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἐργατάις θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο, ὅτι καλὸν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς. Τὰς χεῖρας αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τοὺς δὲ πήχεις αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

## Παροιμιῶν τό Ἀνάγνωσμα
(Κεφ. ΛΑʹ).

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Μηρυομένη ἔρια καὶ λίνον ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν καὶ ἔδωκε βρώματα τῷ οἴκῳ καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς. Τάς χεῖρας αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τοὺς δὲ πήχεις αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

# Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

## (Κεφ. γ΄, 1-3)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ΄ ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καί ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ΄ αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τόν Στίχον.
Ἦχος πλ.α',
Χαίροις ἀσκητικῶν.

Χαίροις ἡ Πρωτομάρτυς Χριστοῦ, Θέκλα θεόφρον, ἡ τοῦ Παύλου συνόμιλος· αὐτοῦ γάρ καταυγασθεῖσα, μαρμαρυγαῖς νοηταῖς, γεηρόν μνηστῆρα καταλέλοιπας, καί πίστει νενύμφευσαι, τῷ τῶν ὅλων Δεσπόζοντι, ἀσχέτῳ πόθῳ, ὡς νεᾶνις περίδοξος, ᾧ τετήρηκας, τήν ἁγνείαν ἀμόλυντον· ὅθεν καί ἀριστεύσασα, ἐν πόνοις ἀθλήσεως, λαμπαδηφόρος ἀνῆλθες, εἰς τόν νυμφῶνα τόν ἄφθαρτον, ἡμῖν αἰτουμένη ἱλασμόν καί σωτηρίαν καί θεῖον ἔλεος.

Στίχος. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

Χαίροις ἡ Πρωτομάρτυς Χριστοῦ· ἐν γυναιξί γάρ ἀνδρικῶς πρώτη ἤθλησας, ρωσθεῖσα δυνάμει θείᾳ, καί καθελοῦσα ἐχθρόν, τοῖς ὑπερφυέσιν ἀγωνίσμασιν· πυρός στερροτέρα γάρ, θείᾳ δρόσῳ γεγένησαι, θῆρας ἀγρίους. εἰς ἡμέρους μετέβαλες, καί ἐν ἅπασι τοῖς δεινοῖς ἐθριάμβευσας. Ὅθεν Χριστός ὁ Κύριος, λαμπρῶς σε ἐδόξασε, καί οὐρανίων

θαλάμων, περιφανῶς σε ἠξίωσεν, αὐτόν δυσωποῦσαν, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τό μέγα ἔλεος.

Στίχ: Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.

Πέτρα διαρραγεῖσα σεμνή, παντοδυνάμῳ τοῦ νυμφίου σου νεύματι, ἐδέξατο ἐντός Μάρτυς, σέ τήν ἀμνάδα Χριστοῦ, τό τῆς παρθενίας κάλλος σώζουσαν· ἐξ ἧς καί ἀνέδραμες, πρός οὐράνιον θάλαμον, ὡς Ἀθληφόρος, καί παρθένος ἀμόλυντος, τῶν καμάτων σου, δρεπομένη τά ἔπαθλα, Θέκλα ἀειμακάριστε, λυχνία πολύφωτε, τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, σκότος παθῶν ἐκδιώκουσα, ταῖς σαῖς ἱκεσίαις, καὶ τῶν πίστει προσιόντων, τῇ προστασίᾳ σου.

Δόξα... Ἦχος πλ. δ΄

Ἦχος πλ. δ΄ Νη



δι ο και Πα αυ λον δι ι ι ω κου ου

σα εξ ου ου ου ρα νου ε δε ε ξω το χα α

ρι ι σμα και το στε ε ε φος κε κλη η ρω ω

σαι πα ρα του α θλο θε ε του ου Θε ε ε

ου και πρε σβε ε ευ εις α α πα α αυ

στως δω ρη θη ναι πται σμα α τω ων ι ι ι

λα α α σμον τοις εν πι στει εκ τε λου ου ου

σι το ι ε ρο ο ον σου μνη μο ο ο συ

υ υ υ νον

Και νυ υν και α ει και εις τους αι ω
νας των αι ω νων α μην

Θεοτοκίον. Δε ε σποι να προσ δε ξαι τας δε
η η η σεις των δου λων σου και λυ τρω
σαι η μας α πο πα α σης α να αγ κης
και θλι ι ψε ε ως

ΙΕΡΕΥΣ: Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ὁ Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ΄).

Δόξα Πατρὶ... Καὶ νῦν...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα Πατρὶ... Καὶ νῦν...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

ὁ ἱερεὺς:

Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

## 24-09- ΕΣΠΕΡΙΝΟΣ ΑΓΙΑΣ ΚΑΙ ΙΣΑΠΟΣΤΟΛΟΥ ΘΕΚΛΗΣ.

### Ἀπολυτίκιον τῆς Ἁγίας Θέκλης.

Ταχὺ προκατάλαβε

Ἦχος Δι




Και νυν και α ει και εις τους αι ω
νας των αι ω νων α μην
Το απ αι ω νος α πο κρυ φον και Αγ γε
λοις α γνω στον μυ στη ρι ον δι α σου Θε
ο το κε τοις ε πι γης πε φα νε ρω ται Θε
ος εν α συγ χυ τω ε νω σει σαρ κου με νος
και Σταυ ρον ε κου σι ως υ περ η μων κα τα
δε ξα με νος δι ου α να στη σας τον πρω
το ο πλα στον ε σω σεν εκ θα να του τας
ψυ χας η μω ω ων

ΙΕΡΕΥΣ: Σοφία!

ΧΟΡΟΣ: Εὐλόγησον.

ΙΕΡΕΥΣ: Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης: Ἀμήν. Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, σὺν τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ καὶ τῇ πόλει (ἢ τῇ μονῇ, ἢ χώρᾳ, ἢ τῇ νήσῳ) ταύτῃ εἰς αἰῶνας αἰώνων. Ἀμήν.

ΙΕΡΕΥΣ: Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὁ Ἀναγνώστης: Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

ΙΕΡΕΥΣ: Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ Ἀναγνώστης: Δόξα... Καὶ νῦν..., Κύριε ἐλέησον (γ΄), Πάτερ ἅγιε, εὐλόγησον.

ΙΕΡΕΥΣ: Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων,

ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

ΙΕΡΕΥΣ: Δι’ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὁ Χορός: Ἀμήν.

## Τὸν Εὐλογοῦντα.




## Τὸν Δεσπότην καὶ Ἀρχιερέα.



Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελῳδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Ὁ Κανὼν τῆς Ἁγίας, οὗ ἡ ἀκροστιχίς· Ἡ Πρωτομάρτυς ἐνθέως δοξάζεται. Ἄνευ τῶν Θεοτοκίων. Ποίημα Ἰωάννου Μοναχοῦ.

ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ἄσωμεν τῷ Κυρίῳ.

Ἦχος γλώττης οὐ σθένει, τοὺς πανευκλεεῖς τῆς Πρωτομάρτυρος, διηγήσασθαι ἄθλους· ἀτονεῖ γὰρ πρὸς ὕμνον ἐπάξιον.

Πέπαυται τοῦ τυράννου, ἡ ἀλαζονεία ἡ ὑπεροφρύς, κατὰ τούτου γυναῖκες· εὐσεβῶς ἐν Χριστῷ γὰρ ἠνδρίσαντο.

Ῥήμασιν ἀποῤῥήτοις, εὐαγγελικῶς ἐνηχηθεῖσά σου, παμμακάριστε Παῦλε, τῷ Χριστῷ ἡ παρθένος νενύμφευται.

Θεοτοκίον.

Ἄχραντε Θεοτόκε, ἡ σεσαρκωμένον τὸν ἀΐδιον, καὶ ὑπέρθεον Λόγον, ὑπὲρ φύσιν τεκοῦσα ὑμνοῦμεν Σε.

ᾨδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.

Ὢ τῆς ἀγαπήσεως, τῆς ὑπὲρ ἔννοιαν πάνσεπτε, ᾗ ἐν Χριστῷ, Παύλῳ συνεδέθης, ἑνωθεῖσα τῷ Πνεύματι.

Τρῶσαι ἡ ἐνήδονος, τὴν τετρωμένην σου ἔρωτι, πνευματικῷ, φρένα οὐκ ἰσχύει, τῶν γηΐνων

ἀπόλαυσις.
Ὅλη ἐκδημήσασα, τῶν τῆς σαρκὸς παθῶν ῥήμασι, τοῖς μητρικοῖς, οὐκ ἐμαλακίσθης, Ἀθληφόρε πανεύφημε.
Θεοτοκίον.
Δὸς ἡμῖν βοήθειαν, ταῖς ἱκεσίαις Σου Πάναγνε, τάς προσβολὰς ἀποκρουομένη, τῶν δεινῶν περιστάσεων.

Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.
Εἰς ἀνδρίαν τὸ θῆλυ δι᾽ ἀρετῶν, μεταθεῖσα τῷ πόθῳ τῷ τοῦ Χριστοῦ, Θεοῦ οἰκητήριον, ἀμφοτέρωθεν γέγονας· τῶν παθῶν γὰρ τὸν γνόφον, ἀσκήσει μειώσασα, μαρτυρικῶς ἐδείχθης, ἀθλήσεως καύχημα· ὅθεν καὶ τῷ κόσμῳ, ὡς φωστὴρ διαλάμπεις, διссῶς ἐξαστράπτουσα, τάς ἀκτῖνας τοῦ Πνεύματος· Πρωτομάρτυς πανεύφημε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.
Δόξα. Καὶ νῦν. Θεοτοκίον.
Ὡς Παρθένον καὶ μόνην ἐν γυναιξί, Σὲ ἀσπόρως τεκοῦσαν Θεὸν σαρκί, μακαρίζομεν γενεαὶ τῶν ἀνθρώπων· τὸ γὰρ πῦρ ἐσκήνωσεν, ἐν Σοὶ τῆς Θεότητος, καὶ ὡς βρέφος θηλάζεις, τὸν Κτίστην

καὶ Κύριον· ὅθεν τῶν Ἀγγέλων, καὶ ἀνθρώπων τὸ γένος, ἀξίως δοξάζομεν, τὸν πανάγιον τόκον Σου, καὶ συμφώνως βοῶμέν Σοι· πρὲσβευε τῷ Σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἀνυμνοῦσιν ἀξίως, τὴν δόξαν Σου Ἄχραντε.

Ἢ Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν Ἀμνὸν καὶ Ποιμένα καὶ Λυτρωτήν, ἡ Ἀμνὰς θεωροῦσα ἐν τῷ Σταυρῷ, ὠλόλυζε δακρύουσα, καὶ πικρῶς ἐκβοῶσα· ὁ μέν κόσμος ἀγάλλεται, δεχόμενος τὴν λύτρωσιν, τὰ δὲ σπλάγχνα μου φλέγονται, ὁρώσης Σου τὴν σταύρωσιν, ἥνπερ ὑπομένεις, διὰ σπλάγχνα ἐλέους, Μακρόθυμε Κύριε, τοῦ ἐλέους ἡ ἄβυσσος, καὶ πηγὴ ἀγαθότητος· ἱλάσθητι καὶ δώρησαι οὖν, τῶν πταισμάτων ἄφεσιν τοῖς δούλοις Σου, τοῖς ἀνυμνοῦσιν ἐν πίστει, τὰ ἄχραντα πάθη Σου.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Μνηστευθεῖσαν Θαμύριδι, ὁ νυμφαγωγὸς σε Παῦλος ἡρμόσατο, τῷ νυμφίῳ ὡς ἀμώμητον, τῷ ἐπουρανίῳ Θέκλα πάνσοφε.

Ἀπηρτήθης τοῦ ἔρωτος, τῆς θεοσεβείας Παύλου τοῖς ἔπεσι, καὶ Θαμύριδος τὰ ῥήματα, ὥσπερ λῆρον Μάρτυς ἐμυκτήρισας.

Ῥαντισμῷ θείου αἵματος, τὸ Ἀδαμιαῖον γένος ηὐλόγηται, Εὔα χαίρει καθορῶσα δέ, γυναιξί τὸν ὄφιν ὑποπίπτοντα.

Τὴν ἁγνείαν ποθήσασα, πάντα τὰ τερπνὰ τοῦ βίου ἀπώσατο, πλοῦτον γένος ὡραιότητα, καὶ ἡδὺν μνηστῆρα ἡ πρωτόαθλος.

Θεοτοκίον.

Ἱλασμὸν ἡμῖν δώρησαι, τῶν ἀγνοημάτων ὡς ἀναμάρτητος, καὶ εἰρήνευσον τὸν κόσμον, ὁ Θεὸς πρεσβείαις τῆς τεκούσης Σε.

Ὠδὴ ε΄. Ὀρθρίζοντες βοῶμέν Σοι.

Ὑπέρογκον ἀθλήσεως στάδιον, ἠγωνίσω, Θέκλα παμμακάριστε, καὶ τοῦ βραβείου ἠξίωσαι.

Σεσύληται ὁ δράκων ὁ δόλιος· ἡ παρθένος, θείοις γὰρ παθήμασιν, ὑπακοὴν ἐδιδάσκετο.

Ἐνίκα τὴν αἰδῶ σου ἡ ἔνθεος, παῤῥησίᾳ· πῦρ γὰρ σε ἐγκάρδιον, τὸ τῆς Τριάδος ἐξέκαυσε.

Θεοτοκίον.

Παρθένον μετὰ τόκον ὑμνοῦμεν Σε, Θεοτόκε· Σὺ γὰρ τὸν Θεὸν Λόγον, σαρκὶ τῷ κόσμῳ ἐκύησας.

Ὠδὴ ς΄. Τὴν δέησιν ἐκχεῶ.

Νεάνιδος τὸ τῆς φύσεως σαθρόν, τῇ δυνάμει τοῦ

Σωτῆρος ἐρρώσθη, νεανικόν, κόσμον τῷ θείῳ πόθῳ· περιελοῦσα γὰρ νύκτωρ ἐθάρσησε, καὶ ἔδραμε τοῦ ἐραστοῦ, τὰ εὐώδη ζητοῦσα διδάγματα.
Θαλάμων ὑπερφυῶς τῶν νυμφικῶν, αὐθαιρέτῳ ἀντηλλάξατο πόθῳ ἡ εὐκλεής, καὶ πρωτόαθλος Θέκλα, τὸ τῶν κακούργων οἰκεῖν δεσμωτήριον· ὁ πόθος γὰρ τοῦ Ποιητοῦ, τῶν κτισμάτων ἐνίκα τοὺς ἔρωτας.
Ἐν πνεύματι κατεφίλει τὰ δεσμά, τοῦ ἐνθέου Διδασκάλου ἡ Μάρτυς, ἐν τῇ φρουρᾷ, ὡς ἐνθέῳ λειμῶνι, ἀρδευομένη τοῖς λόγοις καὶ ηὔξανε, καὶ ἔφερεν ὡς ἀληθῶς, τῷ Δεσπότῃ καρπὸν ὡραιότατον.
Θεοτοκίον.
Μὴ παύσῃ ὑπὲρ ἡμῶν πρεσβεύουσα, Παναγία Θεοτόκε Παρθένε, ὅτι πιστῶν, στήριγμα Σὺ ὑπάρχεις, καὶ τῇ ἐλπίδι τῇ Σῇ κραταιούμεθα, καὶ πόθῳ Σε καὶ τὸν ἐκ Σοῦ, σαρκωθέντα ἀφράστως δοξάζομεν.

Κοντάκιον. Ἦχος πλ. δ΄. Ὡς ἀπαρχὰς τῆς φύσεως.
Τῆς παρθενίας τῷ κάλλει ἐξέλαμψας, μαρτυρίου στεφάνῳ κεκόσμησαι, ἀποστολὴν πιστεύῃ

Παρθένε ὡς ἔνδοξος· καὶ τοῦ πυρὸς μὲν τὴν φλόγα, εἰς δρόσον μετέβαλες, τοῦ ταύρου δὲ τὸν θυμόν, προσευχῇ σου ἡμέρωσας ὡς πρωτόαθλος.

Ὁ Οἶκος.

Ἑορτῆς σεβασμίας ἡ ἔλλαμψις, ὑπερλάμπει φαιδρῶς ὑπὲρ ἥλιον· μαρμαρυγὰς γὰρ φωτὸς ἀπαστράπτουσα, τοῖς πιστῶν ὀφθαλμοῖς ἐνοπτρίζεται· διὸ Ἀγγέλοις συγχορεύοντες, τῷ Σωτῆρι Θεῷ ἀλαλάξωμεν πάντες, βοῶντες Αὐτῷ· ἐμεγάλυνας Σῶτερ τὰ ἐλέη Σου, δωρησάμενος δώρημα τέλειον τῷ λαῷ, τὴν Πρωτόαθλον.

Συναξάριον.

Τῇ ΚΔ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τῆς Ἁγίας Μεγαλομάρτυρος καὶ Ἰσαποστόλου Θέκλης.

Στίχοι.

Αὐτὸς σε σῴζει Θέκλα ῥήξας τὴν πέτραν,
Οὗ τῷ πάθει πρὶν ἐρράγησαν αἱ πέτραι.
Πέτρη ἀμφὶ τετάρτην εἰκάδα δέξατο Θέκλην.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὡς δεσμίῳ τῷ Παύλῳ, συνεδέθης τῷ πόθῳ, ὦ παμμακάριστε, ἐν ἅμμασιν ἀλύτοις, τῇ πίστει συμφωνοῦσα, εὐσεβῶς καὶ συμψάλλουσα· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.
Συμπαρέστης τῷ Παύλῳ, πρὸ βημάτων ἀδίκων, ὦ καλλιπάρθενε, καὶ πόθῳ τοῦ Δεσπότου, ἐβόας ἐν ἐκστάσει, τὴν αἰδῶ ἀποῤῥίψασα· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.
Διὰ πόθον τὸν θεῖον, τῇ καμίνῳ τὸ σῶμα, Μάρτυς ἐκδέδωκας, καὶ τῇ τοῦ ποθουμένου, διέμεινας δυνάμει, ἀκατάφλεκτος ψάλλουσα· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.
Ὀμβροτόκος νεφέλη, ὑετῷ καὶ χαλάζῃ, τὴν φλόγα σβέσασα, ἐνδίκως καταφλέγει, τοὺς ἄφρονας καὶ σῴζει, μελῳδοῦσαν τὴν Μάρτυρα· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.
Θεοτοκίον.
Παρθενικῆς ἐκ νηδύος, σαρκωθεὶς ἐπεφάνης, εἰς σωτηρίαν ἡμῶν· διό Σου τὴν Μητέρα, εἰδότες Θεοτόκον, εὐχαρίστως κραυγάζομεν· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.
ᾨδὴ η΄. Τὸν Βασιλέα τῶν οὐρανῶν.
Ξενοφανὴς σου ὁ λογισμός· τὸν γὰρ τάφον, ὡς Ἐδὲμ κατῴκησας Παρθένε, Μάρτυς ἀνυμνοῦσα, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἀμαυρωθῆναι τῆς εὐπρεποῦς παρθενίας, τὸ φαιδρὸν μὴ φέρουσα σου κάλλος, θνήσκειν ᾑρετίσω, καὶ ζῇς εἰς τοὺς αἰῶνας.
Ζωοποιῷ καὶ ὑπερφυεῖ συναφθεῖσα, τῷ Χριστῷ Πρωτόαθλε Νυμφίῳ, θῆρας ᾑρετίσω, φρουροὺς τῆς παρθενίας.
Ἐκδυσαμένη σου τῆς φθορᾶς τὴν ἐσθῆτα, εὐσταλὴς Χριστοῦ σταδιοδρόμος, ἦλθε πρὸς ἀγήρω, ζωὴν εἰς τοὺς αἰῶνας.
Θεοτοκίον.
Τὸν κατελθόντα ἐξ οὐρανοῦ καὶ ἐν μήτρᾳ, παρθενικῇ οἰκήσαντα ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Σὲ τὴν ἀπειρόγαμον.
Τὶς σου τὸ ἀήττητον, ὦ Πρωτομάρτυς μὴ θαυμάσῃ; Θῆρας νοητοὺς τὰ πάθη γάρ, τῆς ψυχῆς τιθασεύσασα, τὰ ἀκρατῆ θηρῶν ὁρμήματα οὐκ ἐπτοήθης, ἀλλὰ μένεις, ἐν μέσῳ τούτων ἀδιάφθορος.
Ἄβατος ἀκρότομος, Θεοῦ προστάξει σοι ἐρράγη, πέτρα θεοφόρῳ Μάρτυρι, λουτρῷ ἀναγεννήσεως, ἐσφραγισμένῃ θείᾳ νύμφῃ, ὡς θάλαμος τῇ φυγάδι, καὶ ἐν ἀγκάλαις ὑπεδέξατο.

Ἴασαι Πρωτόαθλε, τοὺς μώλωπας τοὺς τῆς ψυχῆς μου, κόσμῳ τὴν εἰρήνην βράβευσον, τῷ πιστῷ Βασιλεῖ ἡμῶν, κατὰ βαρβάρων δυσμενῶν νέμουσα τρόπαια, καὶ εἰρήνην ταῖς ἐκκλησίαις σαῖς δεήσεσι.

Θεοτοκίον.

Νέκρωσόν μου Δέσποινα, τὴν ἔτι ζῶσαν ἁμαρτίαν, ζώωσον ψυχῆς τὴν νέκρωσιν, ἐνεργείᾳ τῆς ὄντως ζωῆς, τῆς γεγεννημένης ἐκ γαστρός Σου, δι᾽ ἄφατον εὐσπλαγχνίαν, τοῖς εὐσεβῶς Σε μεγαλύνουσιν.

Ἐξαποστειλάριον. Ἦχος β΄. Γυναῖκες ἀκουτίσθητε.

Ῥωσθεῖσα καλλιπάρθενε, ταῖς θείαις εἰσηγήσεσι, τοῦ θεοκήρυκος Παύλου, φθαρτὸν μνηστῆρα παρεῖδες, καὶ Τούτῳ ἠκολούθησας, Πρωτομάρτυς πολύαθλε, ὦ Θέκλα ἰσαπόστολε· διὸ καὶ νίκης τὸ στέφος παρὰ Χριστοῦ ἐκομίσω.

Θεοτοκίον. Ὅμοιον.

Κυρίως Θεοτόκον Σε, ὁμολογοῦμεν Δέσποινα, οἱ διὰ Σοῦ σεσωσμένοι· τὸν γὰρ Θεὸν ἀποῤῥήτως, ἐκύησας τὸν λύσαντα, διὰ Σταυροῦ τὸν θάνατον, πρὸς ἑαυτὸν δ᾽ ἑλκύσαντα, Μαρτύρων δήμους, μεθ᾽ ὧν Σε, ἀνευφημοῦμεν

Παρθένε.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ΄ καί φάλλομεν Στιχηρὰ Ἰδιόμελα. Ἦχος α΄. Ἀνατολίου.

Ἀθλητικὸν στάδιον σήμερον πρόκειται· λαοὶ χορεύσωμεν, καὶ τὰ ἐν αὐτῷ τελούμενα, παράδοξα πράγματα κατοπτεύσωμεν· ἄσπιλος γὰρ ἀμνάς, πρόκειται σφαγῇ, ὑπὲρ τοῦ σφαγιασθέντος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἡ καλλιπάρθενος Θέκλα καὶ θεόνυμφος· διὸ Τριάδος τῇ πίστει, τὴν τῶν τυράννων κατήργησεν ἀθεότητα· καὶ σύν, Ἀγγέλοις χορεύουσα, τῷ Σωτῆρι πρεσβεύει, σωθῆναι τάς ψυχὰς ἡμῶν.

Ὁ αὐτός. Τοῦ αὐτοῦ.

Νυμφίον ἔχουσα ἐν οὐρανοῖς, Χριστὸν τὸν Θεὸν ἡμῶν, νυμφῶνος κατεφρόνησας τοῦ ἐπιγείου καὶ μνηστῆρος, Θέκλα πρώταθλε· ταῖς γὰρ μητρῴαις θωπείαις ἐμφρόνως μὴ πεισθεῖσα, Παύλῳ ἠκολούθησας, ἐπ᾽ ὤμων ἀραμένη τὸ σημεῖον τοῦ Σταυροῦ· καὶ τὸ μὲν πῦρ οὐκ ἐνάρκησας, τῶν δὲ θηρῶν τὴν ὠμότητα, εἰς ἡμερότητα μετέβαλες, φώκας δὲ ἀπενέκρωσας, τῇ ἐν Χριστῷ καταδύσει τοῦ ἁγίου

Βαπτίσματος. Ἀλλ’ ἐν ἄθλοις γενναίοις διαπρέψασα, μὴ διαλίπῃς πρεσβεύουσα ἀπαύστως τῷ Κυρίῳ, ὑπὲρ τῶν πίστει τελούντων, τὴν ἀεισέβαστον μνήμην σου.
Ἦχος δ΄. Ἀνατολίου.
Ἀναθεῖσα σεαυτὴν παντοδυνάμῳ νεύματι, κρατυνομένη ὡς πρώταθλος τοῦ Χριστοῦ, καὶ τὴν γεώδη καταλείψασα στοργήν, ἀνεδέξω τὴν λαμπάδα τῆς αἰωνίου ζωῆς, ὄλβιος ὑπάρξασα θάλαμος, εἰς ὅν αἱ τῶν θηλειῶν ἀγέλαι προσαναπαύονται, εἴσοδον εὑράμεναι τῆς αἰωνίου ζωῆς, μεθ’ ὧν ἱκέτευε, Ἀπόστολε Θέκλα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.
Ὁ αὐτός. Τοῦ αὐτοῦ.
Χορείας ἐγείρατε φιλομάρτυρες· τῶν ἀγώνων γὰρ ἐφέστηκεν ὁ καιρός, καὶ τῆς Πρωτομάρτυρος ἡ ἐτήσιος μνήμη, πάντας εἰς δοξολογίαν προτρέπουσα Θεοῦ. Θέκλα γὰρ ἡ πρώτη Μαρτύρων ἐν γυναιξί, τὸ ἀθλητικὸν στάδιον ἀνύσασα, πρώτη καὶ στεφηφόρος ἀναδέδεικται, καὶ παῤῥησίᾳ πρεσβεύει, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.
Δόξα. Ἦχος δ΄.
Τὴν σὴν ὑπὲρ ἄνθρωπον ἄθλησιν, Πρωτομάρτυς Χριστοῦ, οὐκ ἀνθρώπων μόνον ἐθαύμασαν τὰ

γένη, ἀλλὰ καὶ θῆρες τεθήπασιν ἄγριοι· αἱ φλόγες, οὐ φλόγες ἐλογίσθησάν σοι καλλιπάρθενε Θέκλα, διὰ τὸν σὸν Νυμφίον Χριστόν· γέγηθας γὰρ δι᾽ Αὐτὸν πάσχουσα, καὶ κόσμου χωριζομένη, ἵνα τῆς ἐπουρανίου τύχῃς μακαριότητος, ἐν παῤῥησίᾳ πρεσβεύουσα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Θεοτοκίον. Ὁ αὐτός. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἐπομβρίαις τοῦ Πνεύματος, τοῦ Ἁγίου Πανάχραντε, τὴν ἐμὴν διάνοιαν καταδρόσισον, ἡ τὴν σταγόνα κυήσασα, Χριστὸν τὸν τὴν ἄμετρον, ἀνομίαν τῶν βροτῶν, οἰκτιρμοῖς ἀποσμήχοντα, ἀποξήρανον, τὴν πηγὴν τῶν παθῶν μου, καὶ χειμάῤῥου, καταξίωσον τρυφῆς με, τῆς ἀειζώου Πανάχραντε.

Ἢ Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐν Σταυρῷ ὡς ἑώρακε, καθηλούμενον Κύριε, ἡ Ἀμνὰς καὶ Μήτηρ Σου ἐξεπλήττετο, καί τὶ τὸ ὅραμα ἔκραζεν, Υἱὲ ποθεινότατε; Ταῦτά Σοι ὁ ἀπειθής, δῆμος ἀνταποδίδωσιν, ὁ παράνομος, ὁ πολλῶν Σου θαυμάτων ἀπολαύσας; Ἀλλὰ δόξα τῇ ἀρρήτῳ, συγκαταβάσει Σου Δεσπότα.

Μεγάλη Δοξολογία.

Εἰς τόν Στίχον.

Δόξα. Ἦχος β΄. Ἀνατολίου.
Δεῦτε φίλαθλοι, τῶν θηλειῶν τὸ καύχημα, τὴν Πρωτομάρτυρα Θέκλαν, ἐν ὕμνοις τιμήσωμεν· αὕτη γὰρ τὸν ἀντίπαλον ἐχθρόν, τῇ δυνάμει τοῦ Σταυροῦ κατεπάτησε, καὶ τὴν νίκην ἄρασα, ἀξίως ἐστεφανώθη· διὸ δυσωπεῖ ἡ πολύαθλος, τοῦ ῥυσθῆναι κινδύνων, καὶ τῆς μελλούσης κρίσεως, τοὺς ἐν πίστει καὶ πόθῳ τελοῦντας τὴν μνήμην αὐτῆς.
Θεοτοκίον. Ὁ αὐτός. Ὅτε, ἐκ τοῦ ξύλου.
Ἄλλην, κραταιὰν καταφυγήν, καὶ ἰσχύος πύργον καὶ τεῖχος, ἀκαταμάχητον, ὄντως οὐ κεκτήμεθα, εἰ μὴ Σὲ Παναγνέ, καὶ πρὸς Σὲ καταφεύγομεν, καὶ Σοὶ ἐκβοῶμεν· Δέσποινα βοήθησον, μὴ ἀπολώμεθα· δεῖξον, τὴν Σὴν χάριν εἰς πάντας, καὶ τῆς δυναστείας τὴν δόξαν, καὶ τῆς εὐσπλαγχνίας Σου τὸ μέγεθος.
Ἤ Σταυροθεοτοκίον. Ὅμοιον.
Βότρυν, ἡ τεκοῦσα τῆς ζωῆς, Ὃν ἀγεωργήτως ἐν μήτρᾳ, ἐκυοφόρησας, ξύλῳ ὡς ἑώρακας, Τοῦτον κρεμάμενον, θρηνῳδοῦσα ὠλόλυζες, καὶ ἔκραζες· Τέκνον, γλεῦκος ἐναπόσταξον, δι᾽ οὗ ἡ μέθη ἀρθῇ, πᾶσα τῶν παθῶν Αὐεργέτα, δι᾽ ἐμοῦ τῆς Σὲ τετοκυίας, Σοῦ τὴν εὐσπλαγχνίαν ἐνδεικνύμενος.